# 01 APRILIE

# ACATISTUL SF.CUVIOASE MARIA EGIPTEANCA DE LA IORDAN

## ACATISTIER-GR


VENERABLE MOTHER MARY OF EGYPT

### ΤΗ Α’ ΤΟΥ ΜΗΝΟΣ ΑΠΡΙΛΙΟΥ
### ως και τη
### ΤΗ Ε’ ΚΥΡΙΑΚΗ ΤΩΝ ΝΗΣΤΕΙΩΝ

# ΧΑΙΡΕΤΙΣΤΗΡΙΟΙ ΟΙΚΟΙ ΕΙΣ ΤΗΝ ΟΣΙΑΝ ΜΗΤΕΡΑ ΗΜΩΝ ΜΑΡΙΑΝ ΤΗΝ ΑΙΓΥΠΤΙΑΝ

Κοντάκιον. Ήχος πλ. δ΄. Τη Υπερμάχω.
Της μετανοίας οχετοίς σαυτήν αρδεύσασα και ψυχοκτόνους του εχθρού ορμάς ξηράνασα, συνεργεία θεία έρημον Ιορδάνου τη ασκήσει σου, Μαρία, καθηγίασας και τοις ρείθροις των δακρύων σου επίανας• όθεν κράζομεν• Χαίροις, Μήτερ ισάγγελε.

Οι Οίκοι.
Άγγελος μετανοίας ήνοιξέ σοι τας πύλας ναού ο σοι ποτε θύρας κλείων (εκ γ΄)
και Αγγέλων σεμνήν βιοτήν δι εύχῆς αόκνου διελθείν, πάνσεπτε Μαρία, κατηξίωσεν, ο νυν συν τοις πιστοίς κραυγάζων•
Χαίρε, το κρίνον της μετανοίας•

χαίρε, το ρόδον της ερημίας.
Χαίρε, ψυχικής ευσθενείας κυπάρισσος•
χαίρε, σωστικής αγωγής βίβλος πάγχρυσος.
Χαίρε, ύψος δυσαντίβλεπτον ουρανίων αρετών•
χαίρε, βάθος επιγνώσεως και ασκήσεως κανών.
Χαίρε, ότι γηΐνων απανέστης εμφρόνως•
χαίρε, ότι οσίων ώφθης πάντιμον κάλλος.
Χαίρε, τερπνόν Αγγέλων οσφράδιον
χαίρε, σεπτόν ερήμου κιννάμωμον.
Χαίρε, Θεού τιμαλφέστατον άγγος•
χαίρε, εχθρού το δυσβάστακτον άγχος•
Χαίροις, Μήτερ ισάγγελε.

Βλάστημα της Αιγύπτου ευθαλές, εν ερήμω, ην ρέει Ιορδάνης, Μαρία, αρετών γλυκυτάτους καρπούς δι άπαύστων πόνων και στερράς ήνεγκας ασκήσεως τω Κτίσαντι, βοώσα συν Αγγέλων δήμοις•
Αλληλούϊα.

Γυναικών θεοφόρων κοσμιότης, Μαρία, Σταυρόν κωλυομένη τον θείον προσκυνήσαι υπό θεϊκού εμποδίου τρόπον βιοτής ήλλαξας και ήλθες εις επίγνωσιν διο σοι εκβοώμεν ταύτα•
Χαίρε, δι' ης ο Χριστός υψώθη•
χαίρε, δι' ης ο Σατάν ετρώθη.
Χαίρε, αειρρύτων δακρύων ο χείμαρρος•
χαίρε, αστειρεύτων ιδρώτων το πέλαγος.
Χαίρε, μάχαιρα αμφίστομος βιοτής ηδονικής•

χαίρε, σκήνωμα πολύτιμον ενεργείας θεϊκής.
Χαίρε, ότι υπάρχεις Ιορδάνου το εύχος•
χαίρε, ότι εδείχθης ασιτείας ο τύπος.
Χαίρε, λαμπάς συντόνου ασκήσεως•
χαίρε, η δας της άνω λαμπρότητος.
Χαίρε, νυμφώνος Εδέμ κληρονόμος•
χαίρε, λειμώνος τερπνού πεζοπόρος•
Χαίροις, Μήτερ ισάγγελε.

Δύναμιν ειληφυία ουρανόθεν ομίχλην πορνείας διεσκέδασας τάχος και προς φως μετανοίας φαιδρόν τους σους πόδας, μήτερ θαυμαστή, ίθυνας και έρημον επέλεξας ως οίκον προσευχής βοώσα•
Αλληλούϊα.

Έδραμες αποπλύναι λογισμών ακαθάρτων και πράξεων ανόμων τον ρύπον ως διψώσα επί τας πηγάς των υδάτων, μήτερ ευκλεές, έλαφος εις έρημον•
διόπερ σοι βοώμεν ευχαρίστω γλώσση•
Χαίρε, το τείχος της μετανοίας•
χαίρε, ο πύργος της απαθείας.
Χαίρε, βιοτής της αγήρω αρχέτυπον•
χαίρε, αγωγής ψυχοτρόφου το έσοπτρον.
Χαίρε, τρόπαιον της φύσεως της θηλείας τιμαλφές•
χαίρε, εύμορφον απάνθισμα αρετών ηδυτερπές.
Χαίρε, ότι υπάρχεις των οσίων φαιδρότης•
χαίρε, ότι τυγχάνεις εγκρατείας ακρότης.
Χαίρε, κρουνέ βλυστάνων ευσέβειαν•

χαίρε, πυρσέ φωτίζων τα σύμπαντα.
Χαίρε, αυγή μυστικής ευωχίας•
χαίρε, στακτή μυροβόλος σοφίας•
Χαίροις, Μήτερ ισάγγελε.

Ζάλης θανατηφόρου δι' ευχής απηλλάγης αόκνου και συντόνου νηστείας• της σαρκός γαρ νεκρώσας ορμάς τον σον νουν, Μαρία, προς Θεόν τάχιστα επτέρωσας ως εύλαλος Κυρίου αηδών βοώσα•
Αλληλούϊα.

Ήσχυνας του δολίως πολεμούντος σε, μήτερ Μαρία, μισοκάλου το θράσος συντονία καμάτων των σων ασιτίας άκρας και ευχής χάριτι Θεού• διο σοι πλέκομεν της νίκης στέφος εκβοώντες•
Χαίρε, η τρώσις του αρχεκάκου•
χαίρε, η πτώσις εχθρού του πλάνου.
Χαίρε, την οφρύν του Σατάν η πατήσασα•
χαίρε, την ισχύν του Χριστού η κρατύνασα.
Χαίρε, όμμα το ανύστακτον του Βελίαρ προσβολαίς•
χαίρε, δώμα ενασκήσεως ασιγήτου ευπρεπές.
Χαίρε, ότι ελαύνεις του εχθρού την μανίαν•
χαίρε, ότι εκτρέπεις του εχθίστου κακίαν.
Χαίρε, παθών εκλύτων το θέριστρον•
χαίρε, ηθών αμέμπτων το έλυτρον.
Χαίρε, ψεκάς του Σωτήρος ειρήνης•
χαίρε, ολκάς της ενθέου γαλήνης•
Χαίροις, Μήτερ ισάγγελε.

Θεοφόρων γυναίων της ερημου μεγίστη υπήρξες, τρισολβία Μαρία• ολοτρόπως θελχθείσα γαρ συ τω του Κτίστου πάντων και Θεού έρωτι και σθένει θείου Πνεύματος ρωσθείσα ανεβόας πόθω•
Αλληλούϊα.

Ιορδάνου τοις ρείθροις των του βίου σου ρύπον απέπλυνας, οσία Μαρία, και λαμπράν μετανοίας στολήν ενδυθείσα πάντων προς Θεόν πρέσβειρα εγένου των τιμώντων σε και ύμνοις μελιχροίς βοώντων•
Χαίρε, η ένθους εν τη ασκήσει•
χαίρε, η μείζων εν τη συνέσει.
Χαίρε, πολιτείας οσίας λευκάνθεμον•
χαίρε, ευσεβείας το θείον τετράδιον.
Χαίρε, σέμνωμα περίδοξον μετανοίας σωστικής•
χαίρε, άρωμα ουράνιον εργασίας πρακτικής.
Χαίρε, ότι ελαύνεις λεγεώνα δαιμόνων•
χαίρε, ότι δεικνύεις τον σωτήριον δρόμον.
Χαίρε, Χριστού της πίστεως έρεισμα•
χαίρε, Αυτού αγάπης θησαύρισμα.
Χαίρε, φθαρτών υπερτέρα απάντων•
χαίρε, θημών αιωνίων δραγμάτων•
Χαίροις, Μήτερ ισάγγελε.

Κατιδών της ψυχής σου ζήλον όντως τον θείον ο σώφρων Ζωσιμάς κατηγάσθη χάριτός σου, ην εύρες, σεμνή, επιβαίνειν κούφως ποταμού ρεύμασι και

πόθω εξιστάμενος Κυρίω ευλαβώς εβόα•
Αλληλούϊα.

Λάμπουσα απαθεία και συνέσει τελεία οσίων τοις χοροίς ηριθμήθης• μετανοίας σου γαρ καθορών ο Δεσπότης τρόπους τη Αυτού χάριτι, Μαρία, σε εσκίασε•
διόπερ ψάλλομεν σοι ταύτα•
Χαίρε, η βίβλος της καρτερίας•
χαίρε, το έρνος της ερημίας.
Χαίρε, γυναικών ασκουμένων ακρώρεια•
χαίρε, αρετών το θεότευκτον οίκημα.
Χαίρε, φάρε τηλαυγέστατε αγωγής ασκητικής•
χαίρε, λύχνε παμφαέστατε ενεργείας θεϊκής.
Χαίρε, ότι σοις τρόποις τοις απλάστοις διδάσκεις•
χαίρε, ότι σοις πόνοις προς τελείωσιν ήχθης.
Χαίρε, κανών βιώσεως σώφρονος•
χαίρε, εικών αόκνου στερήσεως.
Χαίρε, καρπών ουρανίων η πλήρης•
χαίρε, ημών προς Θεόν ἡ μεσίτις•
Χαίροις, Μήτερ ισάγγελε.

Μένεα αποπνέων κατά σου ο του σκότους και πάσης φαύλης πράξεως άρχων επειράτο δαμάσαι ψυχήν την σην θείαν, μήτερ, ην Θεού δύναμις εφύλαττεν αμόλυντον και ήγειρεν σε πόθω ψάλλειν•
Αλληλούϊα.

Νύκτωρ και καθ' ημέραν συν αγέλαις θηρίων σχολάζουσα εν βάθει ερήμου προσευχή και νηστεία πολλή τω Θεώ, Μαρία, αστραπών έμπλεως εφαίνου τελειότητος φωτίζουσα τους σοι βοώντας•
Χαίρε, το σέλας της ασιτίας•
χαίρε, το κέρας της μετανοίας.
Χαίρε, λαμπηδὼν της Χριστού αγαπήσεως•
χαίρε, αηδών Ιορδάνου γλυκύφθογγος.
Χαίρε, ότι ασκητεύουσα έσχες στέγην ουρανόν•
χαίρε, ότι γυμνητεύουσα ενεδύθης τον Χριστόν.
Χαίρε, της αγρυπνίας ευωδέστατος κήπος•
χαίρε, μεταμελείας ακλινέστατος στύλος.
Χαίρε, εχθρών βέβηλων ολέτειρα•
χαίρε, ψυχών προς Κύριον πρέσβειρα.
Χαίρε πολλών κλονουμένων προστάτις,
χαίρε παθών σαρκικών η ολέτις.
Χαίροις, Μήτερ ισάγγελε.

Ξενωθείσα του κόσμου τω Κυρίω των όλων εγνώσθης, τρισευδαίμον Μαρία, τω ισχύσαντι σὲ σθεναρώς τον Σατάν παλαίσαι,τον ψυχής θέλοντα της σης συλήσαι μάργαρον και παύσαι σε βοάν απαύστως•
Αλληλούϊα.

Όλος επλήσθη θάμβους Ζωσιμάς ο θεόπνους, ηνίκα την σην χάριν κατείδε τα εσόμενα βλέπειν καλώς και την σοι οικούσαν του Θεού δύναμιν Μαρία• όθεν

χαίρων σοι εβόα μυστικώς τοιαύτα•
Χαίρε, ακρότης της εγκρατείας•
χαίρε, σεμνότης της Εκκλησίας.
Χαίρε, η καλώς προορώσα τὰ μέλλοντα•
χαίρε, η σαρκός τας ορμάς απορρίψασα.
Χαίρε, ἔμψυχον προοίμιον της μελλούσης αμοιβής•
χαίρε, τίμιον διάδημα ισαγγέλου βιοτής.
Χαίρε ότι δαιμόνων την μανίαν καθείλες•
χαίρε, ότι μερόπων τα ηδέα παρείδες.
Χαίρε, στερρόν της νήψεως ἔρεισμα•
χαίρε, λαμπρόν ασκήσεως τείχισμα.
Χαίρε, ναπών ουρανών οδοιπόρος•
χαίρε, ημών ὁδηγὸς φωτοφόρος•
Χαίροις, Μήτερ ισάγγελε.

Πόνοις σου νυχθημέροις εχαλίνωσας, μήτερ Μαρία, της σαρκός τας ορέξεις και κατέδειξας πάσι πιστοίς, Ιορδάνου κλέος, της ψυχής φρόνημα σης θείας το αδάμαστον, δι' ου πλησθείσα ανεβόας•
Αλληλούϊα.

Ρείθροις των σων δακρύων και απείρων ιδρώτων κατέσβεσας παθών σου την φλόγα και ανήψας ψυχής σου πυρσόν, ον καλώς βαστάζουσα Θεώ ἔδραμες, Μαρία, ικετεύουσα Αυτόν υπέρ των σοι φωνούντων•
Χαίρε, οσμή Χριστού ευωδίας•
χαίρε, ροπή θεϊκής σοφίας.
Χαίρε, η εχθρού τας ορδάς αφανίσασα•

χαίρε, η Θεού τους ανθρώπους ευφράνασα.
Χαίρε, κρήνη η καλλίρρυτος ύδωρ βλύσασα ζωής•
χαίρε, στάθμη αρρυτίδωτος αρετής ασκητικής.
Χαίρε, ότι λαμπρύνεις τον χορόν των οσίων•
χαίρε, ότι υπάρχεις ακτησίας ταμείον.
Χαίρε, ακτίς της θείας χρηστότητος•
χαίρε, παγίς του πλάνου αλάστορος.
Χαίρε, αστήρ μετανοίας φωσφόρος•
χαίρε, λαμπτήρ απαθείας πυρφόρος•
Χαίροις, Μήτερ ισάγγελε.

Στέφανον εκομίσω βιοτής αθανάτου, Μαρία, εκ χειρών του Κυρίου• της ασκήσεως γαρ την οδόν θεαρέστως, μήτερ, αρετών κύαθε, τελέσασα θεώσεως εδρέψω τους καρπούς βοώσα•
Αλληλούϊα.

Των Αγγέλων την θείαν πολιτείαν, Μαρία, ποθήσασα σαυτήν τω Κυρίω ως θυμίαμα ηδυτερπές τω κρατύναντί σε επί γης ήνεγκας• διο σοι πάντες σπεύδομεν αισίαις ταις φωναίς βοήσαι•
Χαίρε, συνέσεως εκμαγείον•
χαίρε, της χάριτος σκεύος θείον.
Χαίρε, Ζωσιμά την ψυχήν η ηδύνασα•
χαίρε, Μαμωνά την δουλείαν η λύσασα.
Χαίρε, μήτερ αξιάγαστε, Ιορδάνου καλλονή•

χαίρε, νύμφη Κτίστου πάγκαλε, των Αγγέλων χαρμονή.
Χαίρε, ότι ζευγνύεις πράξιν και θεωρίαν•
χαίρε, ότι ελαύνεις του Σατάν την κακίαν.
Χαίρε, δι' ης η πίστις κρατύνεται•
χαίρε, δι' ης φθορά απαμβλύνεται.
Χαίρε, χαράς κοινωνέ της αγήρω•
χαίρε, λαμπάς κοινωνίας της άνω•
Χαίροις, Μήτερ ισάγγελε.

Ύμνων σε ηδυμόλπων καταστέφομεν κρίνοις τους άθλους σου, οσία Μαρία• επιγνώσεως γαρ αρχηγός και σοφών εδείχθης γυναικών άγαλμα, ασκήσασα ως άσαρκος και πόθω τω Θεώ βοώσα•
Αλληλούϊα.

Φως Χριστού κατιδούσα εν Υψίστοις, Μαρία, το άδυτον εξαίτει τον θείον φωτισμόν τοις τιμώσι λαμπρώς τους τιμίους, μήτερ, επί γης μόχθους σου, ίνα εκθύμως ψάλλωμεν σοι χείλεσιν αμώμοις ταύτα•
Χαίρε, θεάμων των αθεάτων•
χαίρε, αρρήτων επόπτις ξένων.
Χαίρε, κοινωνέ της αΰλου λαμπρότητος•
χαίρε, φρυκτωρέ της αδύτου φαιδρότητος.
Χαίρε, ότι εκοινώνησας Ζωσιμά εκ των χειρών•
χαίρε, ότι κατηγλάϊσας την ομήγυριν πιστών.
Χαίρε, σάλπιγξ αλήκτου ευφροσύνης εν πόλω•

χαίρε, φόρμιγξ οσίας βιοτής εν ερήμω.
Χαίρε, πιστών γλυκύτατον ψέλλισμα•
χαίρε, ψυχών το ήδιστον μέλισμα.
Χαίρε, Χριστού το θειότατον εύχος•
χαίρε, εχθρού το οξύτατον κάρφος•
Χαίροις, Μήτερ ισάγγελε.

Χαίρουσα νυν εν δόμοις θεϊκοίς συν Αγγέλων τοις δήμοις και οσίων απάντων τοις χοροίς εκτενώς τω Χριστώ καταπέμψαι πάσι τοις πιστοίς πρέσβευε ελέους πλήθος άμετρον Αυτού τοις εκβοώσι πίστει• Αλληλούϊα.

Ψάλλοντές σου των πόνων την πληθύν εν ερήμω υμνούμεν σε, οσία Μαρία• συ γαρ δείξασα ειλικρινή, ευψυχίας βάθρον και βαλβίς νήψεως, μετάνοιαν διέλαμψας ως άστρον τοις βοώσι φαίνον•
Χαίρε, μελώδημα των οσίων•
χαίρε, απήχημα των αγίων.
Χαίρε, κιβωτέ ησυχίας πολύτιμε•
χαίρε, θησαυρέ σιωπής αδαπάνητε.
Χαίρε, στήλη ακαθαίρετος κοσμικής αποταγής•
χαίρε, κρήνη νέκταρ βρύουσα αθανάτου βιοτής.
Χαίρε, θεία σαμβύκη εν Χριστώ μετανοίας•
χαίρε, πάγχρυσε θήκη νυχθημέρου νηστείας.
Χαίρε, κιθάρα πίστεως πάντερπνος•
χαίρε, κινύρα εύλαλος νήψεως.
Χαίρε, χορού μονοτρόπων ηδύτης•

χαίρε, καμού εν κινδύνων η ρύστις•
Χαίροις, Μήτερ ισάγγελε.

Ω Μαρία, πυξίον διαυγές μετανοίας και Κτίστου αγαπήσεως λύχνε, (εκ γ') την σκοτίαν μου παύσον παθών απαθείας ήμαρ σω πιστώ πρόσφυγι λιταίς σου ανατέλλουσα, ως αν πανευλαβώς κραυγάζω• Αλληλούϊα.

Και αύθις το Κοντάκιον. Ήχος πλ. δ'.Τη Υπερμάχω.
Της μετανοίας οχετοίς σαυτήν αρδεύσασα και ψυχοκτόνους του εχθρού ορμάς ξηράνασα, συνεργεία θεία έρημον Ιορδάνου τη ασκήσει σου, Μαρία, καθηγίασας και τοις ρείθροις των δακρύων σου επίανας• όθεν κράζομεν• Χαίροις, Μήτερ ισάγγελε.

Δίστιχον
Χαίρε, βοά σοι Χαραλάμπης, Μαρία, ακηλίδωτον έσοπτρον μετανοίας.